πολεμῶ, τὰ μητρὸς σύμβολ᾽ ὅς σέσωκέ μοι.
ἀνοικτέον τάδ᾽ ἐστὶ καὶ τολμητέον·
τὰ γὰρ πεπρωμέν᾽ οὐχ ὑπερβαίην ποτ᾽ ἄν.
ὦ στέμμαθ᾽ ἱερά, τί ποτέ μοι κεκεύθατε,
καὶ σύνδεθ᾽, οἷσι τἄμ᾽ ἐφρουρήθη φίλα;
ἰδοὺ περίπτυγμ᾽ ἀντίπηγος εὐκύκλου
ὡς οὐ γεγήρακ᾽ ἔκ τινος θεηλάτου,
εὐρώς τ᾽ ἄπεστι πλεγμάτων· ὁ δ᾽ ἐν μέσῳ
χρόνος πολὺς δὴ τοῖσδε θησαυρίσμασιν.
ΚΡ. τί δῆτα φάσμα τῶν ἀνελπίστων ὁρῶ;
ΙΩΝ. σίγα σύ· πολλὴ καὶ πάροιθεν ἦσθά μοι.
ΚΡ. οὐκ ἐν σιωπῇ τἀμά· μή με νουθέτει.
ὁρῶ γὰρ ἄγγος οὗ ᾿ξέθηκ᾽ ἐγώ ποτε
σέ γ᾽, ὦ τέκνον μοι, βρέφος ἔτ᾽ ὄντα νήπιον,
Κέκροπος ἐς ἄντρα καὶ Μακρὰς πετρηρεφεῖς.
λείψω δὲ βωμὸν τόνδε, κεἰ θανεῖν με χρή.
ΙΩΝ. λάζυσθε τήνδε· θεομανὴς γὰρ ἥλατο
βωμοῦ λιποῦσα ξόανα· δεῖτε δ᾽ ὠλένας.
ΚΡ. σφάζοντες οὐ λήγοιτ᾽ ἄν· ὡς ἀνθέξομαι
καὶ τῆσδε καὶ σοῦ τῶν τε σῶν κεκρυμμένων.
ΙΩΝ. τάδ᾽ οὐχὶ δεινά; ῥυσιάζομαι λόγῳ.
ΚΡ. οὔκ, ἀλλὰ σοῖς φίλοισιν εὑρίσκει φίλος.
ΙΩΝ. ἐγὼ φίλος σός; κᾆτά μ᾽ ἔκτεινες λάθρᾳ;
ΚΡ. παῖς γ᾽, εἰ τόδ᾽ ἐστὶ τοῖς τεκοῦσι φίλτατον.
ΙΩΝ. παῦσαι πλέκουσα· λήψομαί σ᾽ ἐγὼ καλῶς.
ΚΡ. εἰς τοῦθ᾽ ἱκοίμην, τοῦδε τοξεύω, τέκνον.
ΙΩΝ. κενὸν τόδ᾽ ἄγγος ἢ στέγει πλήρωμά τι;
ΚΡ. σά γ᾽ ἔνδυθ᾽, οἷσί σ᾽ ἐξέθηκ᾽ ἐγώ ποτε.
ΙΩΝ. καὶ τοὔνομ᾽ αὐτῶν ἐξερεῖς πρὶν εἰσιδεῖν;
ΚΡ. κἂν μὴ φράσω γε, κατθανεῖν ὑφίσταμαι.
ΙΩΝ. λέγ᾽· ὡς ἔχει τι δεινὸν ἥ τόλμα γέ σου.

---

1386. *σέσωκε*] Dobraeus, *ἔσωσε* libri. 1388. *οὐχ*] Nauckius, *οὐδ᾽* libri. *ὑπερβαίην*] Barnesius, *ὑπερβαίη* libri. 1396. *ΙΩΝ*] Heathius, *ΧΟ.* libri. *σίγα*] L. Dindorfius, *σιγᾶν* libri. *πολλὴ — ἦσθα*] Hartungius, *πολλά — οἶσθα* libri. 1398. *οὗ ᾿ξέθηκ᾽*] Dobraeus, *οὐξέθηκ᾽* libri. 1405. *γε* B *τε* C 1410. *σ᾽*] Tyrwhittus, *δ᾽* libri.